A

## ΕΠΟΨ, ΕΥΕΛΠΙΣ, ΠΕΙΣΘΕΤΑΙΡΟΣ.

Επ. Ἄνοιγε τὴν ὕλην ἵν' ἐξέλθω ποτέ.
Ευ. Ὦ Ἡράκλεις. τουτὶ τί ποτ' ἐστὶ θηρίον;
Τίς ἡ πτέρωσις. τίς ὁ τρόπος τῆς τριλοφίας; B
Επ. Τίνες εἰσί μ' οἱ ζητοῦντες; Ευ. οἱ δώδεκα θεοὶ
Εἴξασιν ἐπιτρῖψαι σε. Επ. μῶν με σκώπτετον,
Ὁρῶντε τὴν πτέρωσιν; ἦν γὰρ ὦ ξένοι (τοῦ;
Ἄνθρωπος. Ευ. οὐ σοῦ καταγελῶμεν. Επ. ἀλλὰ
Ευ. Τὸ ῥάμφος ἡμῖν σου γέλοιον φαίνεται.
Επ. Τοιαῦτα μέν τοι Σοφοκλέης λυμαίνεται
Εν ταῖς τραγῳδίαισιν ἐμὲ τὸν Τηρέα.
Ευ. Τηρεὺς γὰρ εἶ σύ; πότερον ὄρνις ἢ ταῶς. C
Επ. Ὄρνις ἔγωγε. Ευ. κᾆτά σοι ποῦ τὰ πτερά.
Επ. Ἐξερρύηκε. Ευ. πότερον ὑπὸ νόσου τινός;
Επ. Οὐκ. ἀλλὰ τὸν χειμῶνα πάντα τὤρνεα
Πτερορρυεῖ τε, καὖθις ἕτερα φύομεν.
Ἀλλ' εἴπατόν μοι σφὼ τίν' ἐστόν. Ευ. νὼ, βροτώ.
Επ. Ποδαπὼ τὸ γένος. Ευ. ὅθεν αἱ τριήρεις αἱ καλαί.
Επ. Μῶν ἡλιαστά. Ευ. μή. ἀλλὰ θατέρου τρόπου. D
Ἀπηλιαστά. Επ. σπείρεται γὰρ τοῦτ' ἐκεῖ
Τὸ σπέρμ'. Ευ. ὀλίγον ζητῶν ἂν ἐξ ἀγροῦ λάβοις.
Επ. Πράγους δὲ δὴ τοῦ δεομένω δεῦρ' ἤλθετον.
Ευ. Σοὶ ξυγγενέσθαι βουλομένω. Επ. τίνος πέρι.
Ευ. Ὅτι πρῶτα μὲν ἦσθ' ἄνθρωπος, ὥσπερ νώ ποτε.
Κἀργύριον ὠφείλησας ὥσπερ νώ ποτε. E
Κοὐκ ἀποδιδοὺς ἔχαιρες ὥσπερ νώ ποτε,
Εἶτ' αὖθις ὀρνίθων μεταλλάξας φύσιν,
Καὶ γῆν ἐπέτου καὶ τὴν θάλατταν ἐν κύκλῳ.
Καὶ πάνθ' ὅσαπερ ἄνθρωπος ὅσα τ' ὄρνις φρονεῖς.
Ταῦτ' οὖν ἱκέται νὼ πρὸς σὲ δεῦρ' ἀφίγμεθα,

## EPOPS, EVELPIS, PISTHETERVS.

EP. *Aperi syluam, vt exeam aliquando.*
EV. *O Hercules, hæc quænam est fera?*
*Quæ pennatio? qui modus tricristæ?*
PI. *Qui sunt me quærentes?* EV. *duodecim dei*
*Venient conterere te.* EP. *nũquid me deridetis,*
*Videntes pennationem? eram enim ô aduenæ*
*Homo.* EV. *Non te deridemus.* EP. *sed quem?*
EV. *Rostrum nobis tui ridiculum apparet.*
EP. *Talia quidem Sophocles lædit*
*In Tragœdiis me Tereum.*
EV. *Tereus enim es tu? vtrum auis, an pauo?*
EP. *Auis ego.* EV. *& postea tibi vbi pennæ?*
EP. *Defluxerunt.* EV. *vtrum à morbo aliquo?*
EP. *Non, sed hyeme omnes aues*
*Detrahunt, pennásque rursus alias emittimus:*
*Sed dicite mihi, vos qui estis?* EV. *nos? homines.*
EP. *Cuiates genere?* EV. *vnde triremes bonæ.*
EP. *Nunquid heliastæ?* EV. *ne, sed alterius moris,*
*Apeliastæ.* EP. *seminatur enim hoc illic*
*Semen?* EV. *parum quærens ex agro capies.*
EP. *Rei autem iam cuius indigentes huc venistis?*
EV. *Tibi conuersari volentes.* EP. *Quo de?*
EV. *Quod primùm quidem eras homo, quemadmodum nos aliquando.*
*Et argentum debuisti, sicut nos aliquando,*
*Et non reddens gaudebas, sicut nos aliquando:*
*Postea rursus auibus mutans naturam,*
*Et terram volabas, & mare in circuitu,*
*Et omnia quæcunque homo, quæcunque auis sapis.*
*Hæc igitur supplices nos ad te huc abiuimus.*

Σχόλια. Ἄνοιγε τὴν ὕλην.] δέον εἰπεῖν τὴν θύραν. ἀλλ' ἐν ὕλαις διάγουσιν οἱ ὄρνιθες. Τίς ἡ πτέρωσις] ἐπειδὴ ὁρῶσι ξένην ὄψιν τοῦ Ἔποπος καταπλήττονται. ἔστι γὰρ τῇ πτερώσει τὸ ὄρνεον κατάπυκνον, καὶ τρεῖς ἔχον ἄκρας ἐν τῷ λόφῳ. Τίνες εἰσί μ' οἱ ζητοῦντες.] εὐθὺς οἰωνιζόμενοι εἰώθασι λέγειν πρὸς τὸ, τίς ὁ ζητῶν θεοῦ τινὸς ὄνομα. ἢ ὑγείαν. ἤ τι τοιοῦτον. καὶ νῦν οὖν ἔφη τίνες οἱ ζητοῦντές με. πρὸς ὃ ἐπάγει, οἱ δώδεκα θεοί, τὸ δὲ ἑξῆς παρ' ὑπόνοιαν. ἐπεὶ ἔκσκευος αὐτοῖς φαίνεται. Εἴξασιν ἐπιτρῖψαι σε.] δύναται μὲν ἐπὶ τοῦ Ἔποπος λέγειν, οὗτοι ζητοῦσί σε ἐπιτρῖψαι διὰ τὴν ὄψιν. δύναται δὲ, ἐφ' ἑαυτῶν λέγειν. ἐοίκασιν οὗτοι ἡμᾶς ἐπιτετριφέναι ὧδε ἐλθόντας, εἰ ἐφόβει αὐτοὺς τὸ προσωπεῖον. τὸ δὲ εἴξασιν, ἢ ἐοίκασιν ἢ παρεγένοντο. Τοιαῦτα μέν τοι.] ἐν γὰρ τῷ Τηρεῖ Σοφοκλῆς ἐποίησεν αὐτὸν ἀπωρνιθωμένον καὶ τὴν Πρόκνην. ἐν ᾧ ἔσκωψε πολλὰ τὸν Τηρέα. Πότερον ὄρνις] ἐπάξει. δέον εἰπεῖν ἄνθρωπος ἢ ταώς. ὀξύνεται δὲ καὶ περισπᾶται. ὁ μῦθος δὲ, λέγει τὸν Ἄργον εἰς ταῶνα μεταβεβλῆσθαι. διὰ τοῦτο φησί, πότερον ὄρνις εἶ σὺ ὁ λεγόμενος Τηρεὺς παρὰ τὸ τηρεῖν τὴν ἰῶ, ἢ ταώς. ἢ ἔπαιξε τὸ γενικὸν εἰπὼν, εἶτα ἐπαγαγὼν τὸ εἰδικόν. τὸ δὲ ὄνομα περισπῶσιν οἱ Ἀττικοί. Ἐξερρύηκε.] παρόσον ἄνθρωπος ἐξελήλυθε, μὴ ἔχων πτερὰ πλὴν τῆς κεφαλῆς ἐπτερωμένης ὄρνιθος. Νὼ βροτώ.] πρὸς τὴν παράθεσιν τῶν λέξεων, ὅτι ἐκ παραλλήλου ἡ διαφορὰ δηλοῦται. τὸ δὲ χ, πρὸς τὸ συνεχὲς τῶν δυϊκῶν. Ὅθεν αἱ τριήρεις αἱ καλαί.] ἀντὶ τοῦ ἐξ Ἀθηνῶν. μέγα γὰρ ἐφρόνουν Ἀθηναῖοι ἐπὶ ναυμαχίᾳ. Ἡλιαστά.] δικαστά. ἀπὸ τοῦ μεγάλου δικαστηρίου τῆς Ἡλιαίας. οὕτω δὲ ἐκλήθη, διὰ τὸ ἐν ὑπαίθρῳ εἶναι καὶ ἐν ἡλίῳ βάλλεσθαι. Μὴ ἀλλὰ θατέρου τρόπου] πέπονθε. κεῖται δὲ ἀντὶ τοῦ οὐκ. ἀλλὰ θατέρου τρόπου. τουτέστι μισόδικοι.

BISETVS: Ἀπηλιαστά.] ἰωνικῶς, ἀντὶ τοῦ ἀφηλιαστά, πόῤῥω τῶν ἡλιαστῶν, καὶ δικαστῶν ἀφεστηκότες, καὶ μισόδικοι.

Σχόλια.